07-02-
† Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Λουκᾶ, τοῦ ἐν τῷ Στειρίῳ τῆς Ἑλλάδος.
† Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παρθενίου, Ἐπισκόπου Λαμψάκων.

ΕΝ ΤΩ ΟΡΘΡΩ.

Μετὰ τὸν Ἑξάψαλμον,...
Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις
Ὅτι πρέπει σοι πᾶσα δόξα...
Ἦχος δ'.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

## ΑΠΟΛΥΤΙΚΙΑ

Ἀπολυτίκιον.
Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Σταυρὸν ἐκ νεότητος ἀναλαβόμενος, πορείαν διήνυσας, στενὴν καὶ ἐπίπονον, μακρύνας ἐν ὄρεσιν· ὅθεν αὐλιζόμενος εἰς εὐρύχωρον πλάτος, δόξης και βασιλείας, τοῦ Θεοῦ καὶ Σωτῆρος, Λουκᾶ θεομακάριστε, ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευει.

Δόξα. Τοῦ Ἁγίου Παρθενίου
Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Ἑλλησπόντου τὸ κλέος καὶ Λαμψάκου τὸν πρόεδρον, Παρθένιον τὸν μέγαν Ἱεράρχην τιμήσωμεν, θαυμάτων γὰρ πηγάζει δωρεάς, καὶ παύει ἀσθενείας χαλεπάς, καὶ καρκίνου ἀπαλλάττει τῆς συνοχῆς, τοὺς εὐλαβῶς κραυγάζοντας· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Καὶ νῦν.
Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε, ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβῦτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις
Ὅτι σὸν τὸ κράτος...
Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.
Ἦχος πλ. δ'.
Τὴν Σοφίαν καὶ Λόγον.

Ἁπαλῶν ἐξ ὀνύχων Πάτερ σοφέ, ἀκρασίαν μισήσας τὴν βλαβεράν, ἐπόθησας κάλλιστα, τὴν καθόλου ἐγκράτειαν, ἧς καρπὸς ἁγνεία, καὶ ἄκρα ἀπάθεια, δι' ὧν θεραπεύσας ἐφάνης τὸν κτίσαντα, ὅθεν καὶ τὴν χάριν, παρ' Αὐτοῦ ἐκομίσω, τοῦ παύειν τὰ νοσήματα, καὶ διώκειν τὰ πνεύματα, ἐξ ἀνθρώπων μακάριε, πρεσβεύων ἐκτενῶς καὶ ἡμᾶς, τοὺς πιστῶς ὑμνοῦντάς σε, φυλάττεσθαι ἀμετόχους παντοίων κακώσεων..

Δόξα... Καὶ νῦν...Τῆς Ἑορτῆς.

Ἦχος πλ. δ' Αὐλῶν ποιμενικῶν.

Ἐτέχθης ἐπὶ γῆς, ὁ προάναρχος Λόγος, προσήχθης τῷ ναῷ, ὁ ἀκατάληπτος, χαίρων δὲ ὁ πρεσβύτης, ἐν ταῖς ἀγκάλαις σε ὑπεδέξατο, κράζων· Νῦν ἀπολύεις ὃν ἐπεσκέψω κατὰ τὸ ῥῆμά σου, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων..

Μετὰ τὴν β' Στιχολογίαν,

Κάθισμα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τῷ πυρὶ τῆς ἀγάπης τοῦ Ἰησοῦ, πυρωθεὶς τὴν καρδίαν ὅλον σαυτόν, Αὐτῷ ἀνατέθηκας, τοῖς αὐτοῦ βαίνων ἴχνεσιν, ἐγκρατείας πόνῳ τὸ σῶμα δουλούμενος, τὴν ψυχὴν πιαίνων παννύχοις δεήσεσιν, ὅθεν καὶ τὸν δρόμον, εὐαρέστως τελέσας, λυθείς τε τοῦ σώματος, πρὸς Αὐτὸν ἐξεδήμησας Λουκᾶ θεῖε Πατὴρ ἡμῶν, ἀεὶ ἐν εὐφροσύνῃ τελῶν, Ὁσίων δικαίων Μαρτύρων τε, μεθ' ὧν πρέσβευε σωθῆναι τοὺς δούλους σου.

Δόξα... Καὶ νῦν...Τῆς Ἑορτῆς

Ἦχος δ' Κατεπλάγη Ἰωσήφ..

Νηπιάζει δι' ἐμέ, ὁ Παλαιὸς τῶν ἡμερῶν, καθαρσίων κοινωνεῖ, ὁ καθαρώτατος Θεός, ἵνα τὴν σάρκα πιστώσῃ μου, τὴν ἐκ Παρθένου. Καὶ ταῦτα Συμεὼν μυσταγωγούμενος, ἐπέγνω τὸν αὐτόν, Θεὸν φανέντα σαρκί, καὶ ὡς ζωὴν ἠσπάζετο, καὶ χαίρων, πρεσβυτικῶς ἀνεκραύγαζεν· Ἀπόλυσόν με· σὲ γὰρ κατεῖδον, τὴν ζωὴν τῶν ἁπάντων.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον

Ἀναβὰς εἰς τὸ ὄρος τῶν ἀρετῶν, καὶ ἀσκήσας ὁσίως Πάτερ Λουκᾶ, τὸν νοῦν ἀνεπτέρωσας ἀπὸ γῆς πρὸς οὐράνια, καὶ πρὸς πλάτος θεῖον, πανσόφως πτερούμενος, λογισμῷ τελείῳ, ἀνῆλθες μακάριε, ὅθεν τοὺς εἰς βάθος, πειρασμῶν ἐμπεσόντας, ἀνείλκυσας Ὅσιε, ἐνεργῶν τὰ τεράστια, θεοφόρε Πατὴρ ἡμῶν· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα... Καὶ νῦν...Τῆς Ἑορτῆς

Ἦχος δ' Κατεπλάγη Ἰωσήφ..

Ἐν τῷ ὄρει τῷ Σινᾷ, πάλαι κατεῖδε Μωϋσῆς, τὰ ὀπίσθια Θεοῦ, καὶ ἀμυδρῶς θείας φωνῆς, κατηξιώθη ἐν γνόφῳ τε καὶ θυέλλῃ, νῦν δὲ Συμεών, τὸν σαρκωθέντα Θεόν, ἀτρέπτως δι' ἡμᾶς ἐνηγκαλίσατο, καὶ γεγηθὼς ἠπείγετο τῶν τῇδε, πρὸς τὴν ζωὴν τὴν αἰώνιον· διὸ ἐβόα· Νῦν ἀπολύεις, τὸν δοῦλόν σου Δέσποτα.

Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Ἀντίφωνον Α'.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δὶς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δὶς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ

τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον. Ἦχος δ'

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ. (δὶς)

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ...

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.

Ἡ Τάξις τοῦ Εὐαγγελίου
τοῦ Ὄρθρου. Ἦχος β'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον
Ἐκ τοῦ κατὰ

Ματθαῖον·

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου...

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν' Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ...

Ἦχος β΄

Ταῖς τοῦ σοῦ Ὁσίου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον.

Ἦχος πλ. β΄

Ὅσιε Πάτερ, ἐκ βρέφους τὴν ἀρετὴν ἐπιμελῶς ἀσκήσας, ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος, καὶ παρ᾽ Αὐτοῦ λαβὼν τῶν θαυμάτων τὴν ἐνέργειαν, ἔπεισας τοὺς ἀνθρώπους, καταφρονεῖν τῶν ἡδέων. Νῦν δὲ τῷ φωτὶ καθαρώτερον ἐλλαμπόμενος τῷ θείῳ, φώτισον καὶ ἡμῶν τὰς διανοίας, Λουκᾶ Πάτερ Ὅσιε.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ΄)

*Ἐλέει καὶ οἰκτιρμοῖς...*

ΚΑΝΟΝΕΣ

Τῆς ἑορτῆς ἐκ τοῦ Μηναίου

ᾨδὴ α΄ . Ἦχος γ΄ . Ὁ Εἱρμός

Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, ἐπεπόλευσέ ποτε, ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέστως μέλποντι. Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ῥανάτωσαν ὕδωρ νεφέλαι· Ἥλιος ἐν νεφέλῃ γὰρ κούφῃ, ἐποχούμενος ἐπέστη, ἀκηράτοις ὠλέναις, Χριστὸς ἐν τῷ ναῷ ὡς βρέφος· διὸ πιστοὶ βοήσωμεν. Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἰσχύσατε χεῖρες Συμεών, τῷ γήρᾳ ἀνειμέναι, καὶ κνῆμαι παρειμέναι δὲ Πρεσβύτου, αὐθυβόλως κινεῖσθε Χριστοῦ πρὸς ὑπαντήν. Χορείαν σὺν Ἀσωμάτοις στήσαντες, ᾄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Συνέσει ταθέντες οὐρανοὶ εὐφράνθητε, ἀγάλλου δὲ ἡ γῆ· ὑπερθέων γὰρ ἐκ κόλπων, ὁ τεχνίτης φοιτήσας, Χριστὸς ὑπὸ Μητρὸς Παρθένου, Θεῷ Πατρὶ προσάγεται, νήπιος ὁ πρὸ πάντων· ἐνδόξως γὰρ δεδόξασται.

Ὁ α΄ Κανὼν τοῦ Ἁγίου,

ᾨδὴ α΄.

Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Λαμπτῆρα Χριστός σε φωτοειδῆ, φωτὸς ἀπορρήτου τοῖς ἀΰλοις μαρμαρυγαῖς, αὐγάζοντα πάντων τὰς καρδίας, Λουκᾶ θεόφρον ἀναδείκνυσι.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὅλως ἀπὸ βρέφους ἁγιασθείς, Θεῷ ἀνετέθης ἐκ νηδύος ὡς Σαμουήλ, καὶ γνόφον εἰσέδυς τῶν ἀῤῥήτων, θεωριῶν ἐλλαμφθεὶς τὴν διάνοιαν.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπέδυς γενναίως ὡς ἀριστεύς, τὸ στάδιον μάκαρ τῶν ἀγώνων θωρακισθείς, τῇ θείᾳ δυνάμει τοῦ Σωτῆρος, καὶ τὸν ἀντίπαλον ὄφιν κατέῤῥαξας.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Κανίζεις τῷ ξένῳ σου τοκετῷ, τῆς φύσεως νόμους ὑπὲρ λόγον καὶ ὑπὲρ νοῦν, ἐν μήτρᾳ Παρθένε συλλαβοῦσα, τὸν Ποιητὴν ἁπάντων καὶ Κύριον.

Ὁ β΄ Κανὼν τοῦ Ὁσίου, Ὠδὴ α΄

Ἦχος πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Λόγον μοι δίδου θεόπτα παρεστηκώς, θρόνῳ τοῦ Δεσπότου σου, ἀνυμνῆσαι τὴν φαιδράν, καὶ φωσφόρον μνήμην σου Λουκᾶ, διαλύσας τὴν ἀχλὺν τῆς διανοίας μου.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁλοσχερῶς σε ποθήσας ὁ Ἱερός, Σῶτερ πρὸς τὴν ἄσκησιν, ἀπεδύσατο στεῤῥῶς, θλίψεις μόχθους πόνους καρτερῶν, ἀνθ᾽ ὧν εὕρατο τρυφὴν τὴν ἀτελεύτητον.

Δόξα...

Ὑπωπιάζων τὸ σῶμα Πάτερ Λουκᾶ, ἐγκρατείᾳ πάντοτε, ἀγρυπνίᾳ συνεχεῖ, κακουχίᾳ πάσῃ τε σοφῶς, τὰς ὁρμὰς τῶν ἐμπαθῶν ἡδονῶν ἔστησας.

Καὶ νῦν... Θεοτοκίον

Κυριοτόκε Παρθένε ἡ τὸν Θεόν, ἐν σαρκὶ γεννήσασα, τὸν ἀχώρητον παντί, σαρκωθέντα οἴκτῳ τῶν βροτῶν, τυραννίδος με παθῶν δεῖξον ὑπέρτερον.

Τῆς ἑορτῆς ἐκ τοῦ Μηναίου

Ὠδὴ γ΄. Ἦχος γ΄. Ὁ Εἱρμός.

Τὸ στερέωμα, τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω, τῷ τιμίῳ σου αἵματι.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ πρωτότοκος ἐκ Πατρὸς πρὸ αἰώνων, πρωτότοκος νήπιος, Κόρης ἀφθόρου, τῷ Ἀδὰμ χεῖρας προτείνων ἐπέφανε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Νηπιόφρονα, τὸν γεγονότα ἀπάτῃ, πρωτόπλαστον ἔμπαλιν ἐπανορθώσων, Θεὸς Λόγος, νηπιάσας ἐπέφανε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Γῆς ἀπόγονον, παλινδρομή-σασαν ταύτῃ, Θεότητος σύμμορφον φύσιν ὁ Πλάστης, ὡς ἀτρέπτως νηπιάσας ἀνέδειξε.

Ὠδὴ γ΄.

Ἦχος πλ. δ΄ Σὺ εἶ τὸ στερέωμα.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἄνωθεν ἡ χάρις σοι, ἐπιφοιτήσασα Ὅσιε, τοῦ ἀγαθοῦ Πνεύματος δοχεῖον, ἱερὸν ἀπειργάσατο.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νέον ὥσπερ ἄλλον σε, Λουκᾶ ἀπόστολον κήρυκα, ἡ τοῦ Θεοῦ νύμφη Ἐκκλησία, κεκτημένη ἀγάλλεται.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γῆν εἰς πᾶσαν ἔδραμε, τῶν θαυμασίων σου Ἅγιε, ἡ ἀστραπὴ καὶ τῶν ἰαμάτων τηλαυγῶς ἡ ἐνέγεια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Ἕνα δυσὶ φύσεσι, τὸν ἀπερίληπτον τέτοκας τῆς τριλαμποῦς, Ἄχραντε Τριάδος, πανακήρατος μείνασα.

Ὁ β´ Κανὼν. Ἦχος πλ. β´.
Οὐκ ἔστιν Ἅγιος ὡς Σύ.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνεπτερώθης τῷ θερμῷ, ἔρωτι τοῦ Σωτῆρος, καὶ γονέων τὸ φίλτρον, ὑπερεῖδες δι᾽ αὐτόν, καὶ γέγονας ὢ Λουκᾶ, ξένος πάντων τῶν τερπνῶν μακάριε.

Στίχ. Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ναὸν Κυρίου σεαυτόν, ἀπεργάσασθαι θέλων, ἐρημίας κατῴκεις ὡς ὁ πάλαι Ἠλιού, πρὸς δαίμονας πολεμῶν· ὅθεν εὗρες τέλος τὸ μακάριον.

Δόξα...

Ἐν πάσῃ θείᾳ ἐντολῇ, εὐπειθὴς ὡς οἰκέτης, ἀνεδείχθης παμμάκαρ, καλῶς αὐτὰς ἐκτελῶν, καὶ ταπεινῶν σεαυτόν· ὅθεν ὕψος ἔλαβες οὐράνιον.

Καὶ νῦν... Θεοτοκίον

Παρθένε Μήτηρ τοῦ Θεοῦ, ἡ τεκοῦσα τὸν Λόγον, ὑπὲρ λόγον ὀφθέντα, δι᾽ ἡμᾶς ὅπερ ἡμεῖς, ἱκέτευε ἐκτενῶς, ἀλογίας πάσης με λυτρώσασθαι.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις
Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...

Κάθισμα.
Ἦχος πλ. δ´. Τὴν Σοφίαν καὶ Λόγον.

Ἀπὸ βρέφους ποθήσας τὴν ἀρετήν, τῶν ἡδέων ἀπέσχου πάντων σοφέ, νηστείαν καὶ ἄσκησιν, ἀκριβῆ ἐνδεικνύμενος, καὶ μητρὸς τὸν πόθον οὐδὲν ἡγησάμενος, ἐν σεμνείῳ φέρων, σαυτὸν λάθρα δέδωκας. Πάλιν δὲ μηνύει σε Θεὸς τῇ μητρί σου, θρηνούσῃ τὴν στέρησίν σου δικαίως πανάριστε, ᾗ καὶ νῦν συνηδόμενος· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς
Ἦχος πλ. δ´ Ἀνέστης ἐκ νεκρῶν.

Ἐτέχθης ἐκ μητρός, ὁ προάναρχος Λόγος, προσήχθης τῷ ναῷ, ὁ ἀκατάληπτος φύσει. Χαίρων δὲ ὁ πρεσβύτης ἐν ταῖς ἀγκάλαις σε ὑπεδέξατο, κράζων· Νῦν ἀπολύεις, ὅν ἐπεσκέψω κατὰ τὸ ῥῆμά σου, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων..

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις
Σὺ γὰρ εἶ ὁ Βασιλεὺς...

Κοντάκιον. Ἦχος δ´. Τῇ Ὑπερμάχῳ.

Ὁ ἐκλεξάμενος Θεὸς πρὸ τοῦ

πλασθῆναί σε, εἰς εὐαρέστησιν Αὐτοῦ, οἷ οἶδε κρίμασι, προσλαβόμενος ἐκ μήτρας καθαγιάζει, καὶ οἰκεῖον ἑαυτοῦ δοῦλον δεικνύει σε κατευθύνων σου Λουκᾶ, τὰ διαβήματα, ὁ φιλάνθρωπος· ᾧ νῦν χαίρων παρίστασαι.

Ὁ οἶκος.

Ὦ Πατέρων ἀρίστη καλλονὴ καὶ σεμνότης, ὢ πάντων ἀσκητῶν κοσμιότης. Χριστοῦ τὰς ἐντολὰς γὰρ πληρώσαντος, πῶς ὑμνήσω τὴν σὴν βιοτήν, ἔνδοξε, μὴ ἔχων λόγων δύναμιν; Ἀλλ' ὅμως σοι θαῤῥῶν βοήσω·

Χαῖρε, λαμπρὸν μοναζόντων κλέος·

χαῖρε, πιστῶν ὁδηγὲ καὶ λύχνε.

Χαῖρε, τῆς ἐρήμου τερπνότατον βλάστημα·

χαῖρε, οἰκουμένης λαμπτὴρ φαεινότατε.

Χαῖρε, ὅτι κατεφρόνησας τῶν ῥεόντων καὶ φθαρτῶν· χαῖρε, ὅτι τὰ οὐράνια σὺν Ἀγγέλοις κατοικεῖς.

Χαῖρε· τῶν ἀθυμούντων ταχινὲ παρακλῆτορ·

χαῖρε, τῶν ἐν κινδύνοις ποθεινὲ παραστάτα.

Χαῖρε, σεπτὸν δοχεῖον τοῦ Πνεύματος·

χαῖρε, κλεινὸν Χριστοῦ οἰκητήριον.

Χαῖρε, δι' οὗ δόσις πᾶσα ηὐγάσθη·

χαῖρε, δι' οὗ ὁ Θεὸς ἐδοξάσθη.

Ὧ νῦν χαίρων παρίστασαι.

Συναξάριον.

Τῇ ἑβδόμῃ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Λουκᾶ, τοῦ ἐν τῷ Στειρίῳ τῆς Ἑλλάδος ἀσκήσαντος καὶ καλῶς τελειωθέντος.

Στίχοι·

Ἔπλησε Λουκᾶς θαυμάτων τὴν Ἑλλάδα,

ὅς οὐδὲ νεκρὸς παύεται τῶν θαυμάτων.

Ἑβδοάτῃ Λουκᾶς Φεβρουαρίοιο μετέστη.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ,, Μνήμη τοῦ Ὁσίου Παρθενίου, ἐπισκόπου Λαμψάκου.

Στίχοι·

Ἀφῆκε τὸν χοῦν Παρθένιος Λαμψάκῳ,

Λαμπτῆρα πυρσεύοντα φῶς αὐτοῦ μέγα.

Παρθένιος κατέδαρθε, λαχὼν μακρὸν ἑβδόμῃ ὕπνον.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων Χιλίων Μαρτύρων, καὶ Τριῶν Οἰκετῶν, καὶ Τεσσάρων Προτικτόρων, τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων.

Στίχοι·

Πλῆθος βροτῶν πρὸς τρισὶν ὄντων χιλίων,

Ξίφει θανεῖν εἵλοντο τοῦ Χριστοῦ χάριν.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι Ἓξ Μάρτυρες, οἱ ἐκ Φρυγίας, πυρὶ τελειοῦνται.

Μὴ τὴν πυρὸς φρίξαντες ἰσχὺν ἓξ Φρύγες,

Τῇ τῶν Φρυγῶν γῇ πύργος εἰσὶν ἰσχύος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ

Ἁγίου Ἀπρίωνος, ἐπισκόπου Κύπρου.

Στίχοι·

Χριστὸς καλεῖ σε, σπεῦσον Ἀπρίων ἴθι,
Πρὸς τὰ βραβεῖα τῆς ἄνω κληρουχίας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πέτρου τοῦ ἐν Μοναβάτοις.

Στίχοι·

Ἀγῶνα τὸν μέγιστον ἀνύσας Πέτρος,
ἐν Οὐρανοῖς εἴληφε πάντιμον στέφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Θεοπέμπτου, καὶ τῆς συνοδίας αὐτοῦ.

Στίχοι·

Καλῶς ἀθλήσας Θεόπεμπτος γεννάδας,
Σὺν τοῖς ἑαυτοῦ, τὰ βραβεῖα λαμβάνει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀγαθαγγέλου

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Αὐδάτου

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Σαραπίωνος

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Νεομάρτυρος Γεωργίου, τοῦ ἐξ Ἀλικιανοῦ Κυδωνιᾶς Κρήτης.

Στίχοι·

Ἀθλήσει γεώργιον καινὸν ἐδείχθης,
Κυρίῳ Γεώργιε, ᾧ συναγάλλῃ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## ΚΑΤΑΒΑΣΙΑΙ

Ὠδὴ α'. Ἦχος γ'.

Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, ἐπεπόλευσέ ποτε, ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέ-στως μέλποντι. Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'.

Τὸ στερέωμα, τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω,... ὁ α' χορός...

Τῷ τιμίῳ σου αἵματι.

Ὠδὴ δ'.

Ἐκάλυψεν οὐρανούς, ἡ ἀρετή σου Χριστέ, τῆς κιβωτοῦ γὰρ προελθών,τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου Μητρός, ἐν τῷ ναῷ τῆς δόξης σου, ὤφθης ὡς βρέφος, ἀγκαλοφορούμενος, καὶ ἐπληρώθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

Ὠδὴ ε'.

Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς, ἐν θρόνῳ ἐπηρμένῳ Θεόν, ὑπ' Ἀγγέλων δόξης δορυφορούμενον, ὢ τάλας! ἐβόα, ἐγώ, πρὸ γὰρ εἶδον σωματούμενον Θεόν, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα.

Ὠδὴ ς'.

Ἐβόησέ σοι, ἰδὼν ὁ Πρέσβυς, τοῖς ὀφθαλμοῖς τὸ σωτήριον, ὃ λαοῖς ἐπέστη. Ἐκ Θεοῦ Χριστὲ σὺ Θεός μου.

Ὠδὴ ζ'.

Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, Παῖδας θεολογήσαντας, καὶ Παρθένῳ, ἀκηράτῳ, ἐνοικήσαντα, Θεὸν Λόγον ὑμνοῦμεν, εὐσεβῶς μελῳδοῦντες. Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες Νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον. Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος γ΄)

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία.

Ἦχος γ΄ Ὠδὴ θ΄.

Θεοτόκε ἡ ἐλπίς, πάντων τῶν Χριστιανῶν, σκέπε φρούρει φύλαττε, τοὺς ἐλπίζοντας εἰς σέ.

Ἐν νόμου, σκιᾷ καὶ γράμματι, τύπον κατίδωμεν οἱ πιστοί, πᾶν ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ, διὸ πρωτότοκον Λόγον, Πατρὸς ἀνάρχου Υἱόν, πρωτοτοκούμενον Μητρί, ἀπειράνδρῳ, μεγαλύνομεν.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἐξαποστειλάριον του Ὁσίου.

Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Πληρῶν σου τὴν ἀπόῤῥητον, οἰκονομίαν Κύριε, ἐν τῷ ναῷ προσηνέχθης, ὑπὸ μητρὸς ἀπειράνδρου, ἰδὼν δέ σε ἐκραύγαζεν, ὁ πρέσβυς· Νῦν ἀπόλυσον, τὸν δοῦλόν σου ὦ Δέσποινα, Σωτὴρ γὰρ ἦλθες τοῦ κόσμου, τὸ πατρικὸν φῶς Χριστέ μου.

Ἐξαποστειλάριον,

τῆς Ἑορτῆς. Ὅμοιον.

Πληρῶν σου τὴν ἀπόῤῥητον, οἰκονομίαν Κύριε, ἐν τῷ ναῷ προσηνέχθης, ὑπὸ μητρὸς ἀπειράνδρου, ἰδὼν δὲ σε ἐκραύγαζεν, ὁ Πρέσβυς· Νῦν ἀπόλυσον, τὸν δοῦλόν σου ὦ Δέσποτα· Σωτὴρ γὰρ ἦλθες τοῦ κόσμου, τὸ Πατρικὸν φῶς Χριστέ μου.

ΑΙΝΟΙ. Ἦχος δ΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἶνοι.

Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ὁ θεοφόρος ἡμᾶς νῦν συγκαλεῖται Πατέρων ὁ μέγιστος, Λουκᾶς συνδράμωμεν ὅλῃ, ψυχῇ καὶ καρδίᾳ τε, καὶ διαθέσει, ψαλμοῖς καὶ ὕμνοις πανηγυρίζοντες, καὶ θείως δοξάζοντες τὸν μεγαλύναντα, τὴν ἱερὰν αυτοῦ κοίμησιν, καὶ μυροθήκην, τὴν τῶν λειψάνων λάρνακα δείξαντα. Διὸ τὰ πάθη καὶ τὰ τραύματα, τῶν νοσούντων σαφῶς δραπετεύουσι, καὶ δαιμόνων τὸ στῖφος, τοῖς πιστοῖς ἀποδιώκεται.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ὁ θεοφόρος ἡμᾶς νῦν συγκαλεῖται Πατέρων ὁ μέγιστος, Λουκᾶς συνδράμωμεν ὅλῃ, ψυχῇ καὶ καρδίᾳ τε, καὶ διαθέσει, ψαλμοῖς καὶ ὕμνοις πανηγυρίζοντες, καὶ θείως δοξάζοντες τὸν μεγαλύναντα, τὴν ἱερὰν αυτοῦ κοίμησιν, καὶ μυροθήκην, τὴν τῶν λειψάνων λάρνακα δείξαντα. Διὸ τὰ πάθη καὶ τὰ τραύματα, τῶν νοσούντων σαφῶς δραπετεύουσι, καὶ δαιμόνων τὸ στῖφος, τοῖς πιστοῖς ἀποδιώκεται.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ὅλην ἐκκλίνας τοῦ βίου τὴν ἀπάτην ὅλος τε τοῦ μέλλοντος, Λουκᾶ γενόμενος ὅλην, ἐδέξω τοῦ Πνεύματος, τοῦ παναγίου, χάριν τὴν ἄφθονον καὶ τὰ μένοντα, πάντοτε σκοπούμενος, ἀγχίνους οἷα κριτής, προσκατακτώμενος μάλιστα, τῶν ἐπικήρων πάντων ἠλόγησας, ὅθεν ἔνδοξε, τῆς μακαρίας οὐ διήμαρτες, μετὰ πότμον, καὶ ὄντως ἐφέσεως. Διὸ πρέσβευε Πάτερ, ὑπὲρ πάντων τῶν τιμώντων σε.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Φῶς μὲν δικαιοις ἀνέκλειπτον ὑπάρχει καὶ σὲ δὲ μακάριε, φῶς χρηματίσαντα, καὶ σκότος ὄντως ἐκκλίναντα, τῶν ἑσπερίων, φῶς διεδέξατο τὸ ἀΐδιον, ἰσάγγελον

βίον δέ, μεταδιώξας ἐν γῇ, τὴν μετ' Ἀγγέλων ἐπλούτησας, νῦν θείαν λῆξιν, καὶ τῷ Δεσπότῃ Χριστῷ παρίστασαι, μετ' εὐφροσύνης τὸν τρισάγιον, σὺν αὐτοῖς ὕμνον ᾄδων ἀλήκτως Λουκᾶ, ᾧ πρεσβεύειν ἀπαύστως, μὴ ἐλλίποις ὑπὲρ πάντων ἡμῶν.

Δόξα. Ἦχος πλ. β'.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου. διὸ ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου, τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας, παῤῥησίαν ἔχων πρὸς Χριστόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν.

Τῆς Ἑορτῆς.

Ἦχος πλ. β'.

Ὁ ἐν χερσὶ πρεσβυτικαῖς, τὴν σήμερον ἡμέραν, ὡς ἐφ' ἅρματος Χερουβίμ, ἀνακλιθῆναι εὐδοκήσας Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, τῆς τῶν παθῶν τυραννίδος, ἀνακαλούμενος ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Δοξολογία Μεγάλη.

Ἦχος πλ. β

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα' Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Σταυρὸν ἐκ νεότητος ἀναλαβόμενος, πορείαν διήνυσας, στενὴν καὶ ἐπίπονον, μακρύνας ἐν ὄρεσιν· ὅθεν αὐλιζόμενος εἰς εὐρύχωρον πλάτος, δόξης καὶ βασιλείας, τοῦ Θεοῦ καὶ Σωτῆρος, Λουκᾶ θεομακάριστε, ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε.

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

ΑΝΤΙΦΩΝΑ ΤΗΣ ΕΟΡΤΗΣ

Ἀντίφωνον Α'. Ἦχος β'.

Στίχ. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Ἐξεχύθη χάρις ἐν χείλεσί σου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β'. Ἦχος β'.

Στίχ. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ Δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. Καὶ ἔντειναι καὶ κατευοδοῦ καὶ βασίλευε.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ Δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. Τὰ βέλη σου ἠκονημένα δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ Δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ.. Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ Δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Δόξα Πατρὶ...Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν

σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ´

Ἦχος α΄.

Στίχ. α΄. Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου.

Ἀπολυτίκιον τῆς Ὑπαπαντῆς.

Ἦχος α΄

Χαῖρε κεχαριτωμένη Θεοτό-κε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Χαῖρε κεχαριτωμένη Θεοτό-κε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις Θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον τῆς Ὑπαπαντῆς.

Ἦχος α΄

Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

Ἀπολυτίκιον τοῦ Ἁγίου.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Σταυρὸν ἐκ νεότητος ἀναλαβόμενος, πορείαν διήνυσας, στενὴν καὶ ἐπίπονον, μακρύνας ἐν ὄρεσιν· ὅθεν αὐλιζόμενος εἰς εὐρύχωρον πλάτος, δόξης και βασιλείας, τοῦ Θεοῦ καὶ Σωτῆρος, Λουκᾶ θεομακάριστε, ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε.

Τοῦ Ἁγίου Παρθενίου

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἑλλησπόντου τὸ κλέος καὶ Λαμψάκου τὸν πρόεδρον, Παρθένιον τὸν μέγαν Ἱεράρχην τιμήσωμεν, θαυμάτων γὰρ πηγάζει δωρεάς, καὶ παύει ἀσθενείας χαλεπάς, καὶ καρκίνου ἀπαλλάττει τῆς συνοχῆς, τοὺς εὐλαβῶς κραυγάζοντας· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ἀπολυτίκιον Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον τῆς Ὑπαπαντῆς.
Ἦχος α´

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς Χριστὲ ὁ Θεός. Ἀλλ᾽ εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον Βασιλεῖς οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ´

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΟΥ ΑΓΙΟΥ

Προκείμενον. Ἦχος βαρύς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. 5:22-6:2

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν Πνεύματι, Πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Ἀλληλούϊα. (γ´) Ἦχος πλ. β´.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Στίχ. Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ἀλληλούϊα. (γ´) Ἦχος β´.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν.

Στίχ. Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μα-

καρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β᾽

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β᾽

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.